ἀλλὰ καὶ τῆς ἄκρας εὐκληρίας ἀπολαύειν ὑπολαμβάνουσιν·
ἢν δέ τις τῶν ταῦτα θεραπεύειν ἐπισταμένων ἀλεξίκακον
φάρμακον τῷ πάθει προσενεγκεῖν ἐθελήσῃ, ἀποπηδῶσιν αὐ-
τίκα, καθάπερ οἱ φρενίτιδι κατεχόμενοι νόσῳ καὶ τὴν σφίσι
προσφερομένην ἀποσείονται θεραπείαν καὶ τὴν ἰατρείαν ὡς
5 ἀρρωστίαν ἀποδιδράσκουσιν. χρὴ μέντοι τοὺς ταύτην μετι-
όντας τὴν ἐπιστήμην καὶ χαλεπαίνοντας φέρειν καὶ λοιδο-
ρουμένων ἀνέχεσθαι, κἂν πὺξ παίωσι, κἂν λακτίζωσι· τοι-
αῦτα γὰρ δὴ ἅττα πλημμελοῦσιν οἱ παραπαίοντες· καὶ οὐ
δυσχεραίνουσι τούτων γινομένων οἱ ἰατροί, ἀλλὰ καὶ δεσμὰ
προσφέρουσι καὶ καταιονῶσι βίᾳ τὰς κεφαλὰς καὶ πᾶσαν
μηχανὴν ἐπινοοῦσιν, ὥστε τὸ πάθος ἐξελάσαι καὶ τὴν προ-
6 τέραν τῶν μορίων ἁρμονίαν ἀποδοῦναι τῷ ὅλῳ. τοῦτο δὴ
καὶ ἡμῖν ποιητέον, καὶ τῶν οὕτω διακειμένων ἐπιμελητέον
εἰς δύναμιν. εἰ γὰρ καὶ ὀλίγοι λίαν εἰσὶν οἱ τῷ πάθει
δεδουλωμένοι καὶ ἐοίκασιν ὑποστάθμῃ τινὶ παχείᾳ τῶν τοῦ
διϋλιστῆρος οὐ διϊκνουμένῃ πόρων διὰ παχύτητα, ἀλλ' οὖν
οὐκ ἀμελητέον αὐτῶν οὐδὲ παροπτέον φθειρομένους ὑπὸ
τοῦ πάθους, ἀλλὰ πάντα πόρον ἐξευρητέον, ὥστε τὴν ἐπι-
κειμένην αὐτοῖς ὁμίχλην ἀποσκεδάσαι καὶ τοῦ νοεροῦ φωτὸς
p. 5 7 ἐπιδεῖξαι τὴν αἴγλην. | οὐδεὶς γὰρ φιλόπονος γεωργὸς
τὰς μὲν πολλὰς ἀκάνθας ἐκτέμνει, τὰς δὲ ὀλίγας ἐᾷ, ἀλλὰ
κἂν δύο εὕρῃ, κἂν μίαν, πρόρριζον ἀνασπᾷ καὶ καθαρὸν
ἀποφαίνει τὸ λήϊον. πολλῷ δὴ οὖν μᾶλλον τοῦτο ποιητέον
ἡμῖν· οὐ γὰρ ἐκτέμνειν, ἀλλὰ μεταβάλλειν τὰς ἀκάνθας ὁ
8 τῆς ἡμετέρας γεωργίας παρακελεύεται νόμος. φέρε τοίνυν
καὶ ὡς ἀκάνθαις τὴν γεωργικὴν προσενέγκωμεν δίκελλαν